πάλιν ἄκουε τοῦ μακαρίου Λουκᾶ λέγοντος·
ὅτι μέλλων ἐξιέναι φησὶ τῇ ἐπαύριον
ὁ Παῦλος ἀπὸ τῆς Τρῳάδος, διελέγετο
αὐτοῖς· καὶ παρέτεινε τὸν λόγον
μέχρι μεσονυκτίου· μή που καιρὸς
ἐρωτήματος εἰπέ μοι· ἢ διέκοψε τὸν
τῆς διδασκαλίας λόγον; ὁ νήφων
ἀκροατής. κἂν ἀριστηκὼς ᾖ, ἄξιος
ἂν εἴη τοῦ συλλόγου τούτου τοῦ πνευματικοῦ.
ὥσπερ οὖν ὁ ῥᾴθυμος καὶ ἀναπε-
πτωκὼς κἂν ἄσιτος διαμείνῃ, οὐδὲ
μίαν ἂν ἐντεῦθεν δέξαιτο τὴν ὠφέλειαν·
καὶ ταῦτα λέγων, οὐ τὸν τόνον τῆς νη-
στείας ἐκλύων μὴ γένοιτο· ἀλλὰ καὶ
σφόδρα ἐπαινῶν καὶ ἀποδεχόμενος
τοὺς νηστεύοντας· ἀλλὰ βουλόμενος
διδάξαι ἡμᾶς, λογισμῷ τινι μὴ φων-
τιμᾶσθαι τὰ πνευματικά· καὶ μὴ συνη-
θείᾳ κατακολουθεῖν· οὐ γὰρ τὸ μετα-
λαμβάνοντα τροφῆς αἰσχρὸν παραβάλλειν
τῇ πνευματικῇ ταύτῃ διδασκαλίᾳ· ἀλλὰ
τὸ ῥᾳθυμούσῃ διανοίᾳ· καὶ τοῦτο